eul_wid: jbk-aa

*Ἕρμαρχος ὁ Μυτιληναῖος* · Hermarchus of Mytilene

# Epicurean Biographical Fragments

*Ἀποσπάσματα*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Κοινὴ φιλοσοφική* Philosophical Koine
**Domain:** *Φιλοσοφία* Philosophy
**Format:** *Πραγματεία* Treatise
**Affiliation:** Epicurean

t1-12 VITA .

1 .. Ἕρμαρχος Ἀγεμόρτου Μυτιληναῖος, ἀνὴρ πατρὸς μὲν πένητος, τὰς δ’ ἀρχὰς προσέχων ῥητορικοῖς. [ἀ] φείγμεθα εἰς Λάμψακον ὑ γιαίνοντες ἐγὼ καὶ Πυθο κλῆς κα[ὶ Ἕρ]μαρχος καὶ Κτή σιππος καὶ ἐκεῖ κατειλήφα μεν ὑγιαίνοντας Θεμίς ταν καὶ τοὺς λοιποὺς φίλο[υ]ς.

2 εὖ δὲ ποιεῖς καὶ εἰ σὺ ὑγι αίνεις καὶ ἡ μ[ά]μμη [σ]ου καὶ πάπαι καὶ Μάτρω[ν]ι πάν τα πείθη[ι] [ὥσπ]ερ καὶ ἔμ προσθεν· εὖ γὰρ ἴσθι, ὦ Ἀπία, ὅτι ἐγὼ καὶ οἱ λοιποὶ πάντες σε μέγα φιλοῦμεν ὅτι τούτοις πείθη 〈ι〉 πάντα ἐ[π]ιδεί [κνυ]ται δὲ τὴν κατοκὴν [ὅλων ἐν το]ῖς βυβλίοις τα [ράττων καὶ] θρυλῶν ὅτι Λε [ό]ντιον καὶ ἑτέρα 〈ἑταίρα〉 τις ἐν τῆι πραγματείαι μνημο νεύεται καὶ Νικίδιον ἦν Ἰδομενέως ἐρωμέ νη, Λεοντέως δὲ Μαμμά [ρι]ον, Ἑρμάρχου δὲ Δημη [τρ]ία καὶ τοῖος ἦν Πυθο [κλ]έους π[αιδ]αγωγὸς Πολύ [αινος . [5]

3 ..] διότι δὲ λαμ πρότερο[ν] εἰς δόξαν εἶχεν ὡς κα[ὶ] τούτοις καὶ Λεοντεῖ καὶ Μητροδώρωι θε[ρ]απευ ομένοις ὑπ’ ἀλλήλων καὶ θεραπεύουσι πᾶ σιν Ἐπίκου[ρο]ν, Ἑρμάρχωι δὲ κα[ὶ] περι στείλαντι καὶ τοῖς λειψάνοις ἐφεδρεύ οντι πᾶς ἄν τ[ις] εὖ φρονῶν ὁμολογήσει εν. [5]

6 Κατὰ τάδε δίδωμι τὰ ἐμαυτοῦ πάντα Ἀμυνομάχῳ ... καὶ Τιμοκράτει, ... ἐφ’ ᾧ τε τὸν μὲν κῆπον καὶ τὰ προσόντα αὐτῷ παρέξουσιν Ἑρμάρχῳ Ἀγεμόρτου Μυτιληναίῳ καὶ τοῖς συμφιλοσοφοῦσιν αὐτῷ καὶ οἷς ἂν Ἕρμαρχος καταλίπῃ διαδόχοις τῆς φιλοσοφίας ... Τὴν δ’ οἰκίαν τὴν ἐν Μελίτῃ παρεχέτωσαν Ἀμυνόμαχος καὶ Τιμοκράτης ἐνοικεῖν Ἑρμάρχῳ καὶ τοῖς μετ’ αὐτοῦ φιλοσοφοῦσιν, ἕως ἂν Ἕρμαρχος ζῇ. Ἐκ δὲ τῶν γινομένων προσόδων τῶν δεδομένων ἀφ’ ἡμῶν Ἀμυνομάχῳ καὶ Τιμοκράτει κατὰ τὸ δυνατὸν μεριζέτωσαν μεθ’ Ἑρμάρχου σκοπούμενοι εἴς τε τὰ ἐναγίσματα τῷ τε πατρὶ καὶ τῇ μητρὶ καὶ τοῖς ἀδελφοῖς, καὶ ἡμῖν ... Ἐπιμελείσθωσαν δὲ καὶ Ἀμυνόμαχος καὶ Τιμοκράτης τοῦ υἱοῦ τοῦ Μητροδώρου Ἐπικούρου καὶ τοῦ υἱοῦ τοῦ Πολυαίνου 〈Πολυαίνου〉 , φιλοσοφούντων αὐτῶν καὶ συζώντων μεθ’ Ἑρμάρχου. ὡσαύτως τῆς θυγατρὸς τῆς Μητροδώρου τὴν ἐπιμέλειαν ποιείσθωσαν, καὶ εἰς ἡλικίαν ἐλθοῦσαν ἐκδότωσαν ᾧ ἂν Ἕρμαρχος ἕληται τῶν φιλοσοφούντων μετ’ αὐτοῦ, οὔσης αὐτῆς εὐτάκτου καὶ πειθαρχούσης Ἑρμάρχῳ. διδότωσαν δὲ Ἀμυνόμαχος καὶ Τιμοκράτης ἐκ τῶν ὑπαρχουσῶν ἡμῖν προσόδων εἰς τροφὴν τούτοις ὅ τι ἂν αὐτοῖς κατ’ ἐνιαυτὸν ἐπιδέχεσθαι δοκῇ σκοπουμένοις μεθ’ Ἑρμάρχου. ποιείσθωσαν δὲ μεθ’ αὑτῶν καὶ Ἕρμαρχον κύριον τῶν προσόδων, ἵνα μετὰ τοῦ συγκαταγεγηρακότος ἡμῖν ἐν

φιλοσοφίᾳ καὶ καταλελειμμένου ἡγεμόνος τῶν συμφιλοσοφούντων ἡμῖν ἕκαστα γίνηται. τὴν δὲ προῖκα τῷ θήλει παιδίῳ, ἐπειδὰν εἰς ἡλικίαν ἔλθῃ, μερισάτωσαν Ἀμυνόμαχος καὶ Τιμοκράτης, ὅσον ἂν ἐπιδέχηται ἀπὸ τῶν ὑπαρχόντων ἀφαιροῦντες μετὰ τῆς Ἑρμάρχου γνώμης. ... Δοῦναι δὲ τὰ βιβλία τὰ ὑπάρχοντα ἡμῖν πάντα Ἑρμάρχῳ. Ἐὰν δέ τι τῶν ἀνθρωπίνων περὶ Ἕρμαρχον γένηται πρὸ τοῦ τὰ Μητροδώρου παιδία εἰς ἡλικίαν ἐλθεῖν, δοῦναι Ἀμυνόμαχον καὶ Τιμοκράτην ὅπως ἂν εὐτακτούντων αὐτῶν ἕκαστα γίνηται τῶν ἀναγκαίων, κατὰ τὸ δυνατὸν ἀπὸ τῶν καταλελειμμένων ὑφ’ ἡμῶν προσόδων. φησὶν Ἀπολλόδωρος ἐν Χρονικοῖς . [35]

8 .. τήν τε σχολὴν διαδέξασθαι Ἕρμαρχον Ἀγεμόρτου Μυτιληναῖον. .

9 .. ὁ διαδεξάμενος αὐτὸν (scil. Ἐπίκουρον) Ἕρμαρχος ... τούτου (scil.

10 Ἐπικούρου) δὲ Μητρόδωρος ἠκροᾶτο καὶ Ἕρμαρχος ὁ αὐτὸν ἐπίκουρον διαδεξάμενος. ἐτελεύτα δὲ παραλύσει, γενόμενος ἱκανὸς ἀνήρ.

12 ὧν ἦν καὶ Πολύστρατος ὁ διαδεξάμενος Ἕρμαρχον. DE ALIIS PHILOSOPHIS IUDICIUM ἀλλ’ οὐδὲ Λεύκιππόν τινα γεγενῆσθαί φησι φιλόσοφον, οὔτε αὐτὸς οὔτε Ἕρμαρχος .

13 .. INGENIUM ET FAMA τῶν βυβλίων μὴ [.

14 .....] θειν πρὸς οὕς τε γὰρ ευ [ . ] .. σει ... [μάλι]στα ταύτ[ηι] κέχρηνται, Λεοντέα καὶ Ἰδομενέα καὶ Πυθοκλέα καὶ Ἕρμαρχον καί [π]ως ἐ χόμενοι παντοδαπ[ῶν] αὐτοῦ ... πρεσβευτὰς εὐθὺς πρὸς ἡμᾶς διαπέμψεται Μητρόδωρον καὶ Ἕρμαρχον καὶ Πολύαινον.

t20-229 (3) EIUS IN SCHOLA PARTES ἐπειδὰν μεθ’ ἕρ μαρχον καὶ περὶ τῶν ἄ[λ λων] Ἐπι[κού]ρου φίλων πο[ιῶ] μαι τὴν γραφήν.

21 [συνκ]ρίνομεν τρό πους τῶ[ν] μετὰ τὴν Ἑρ μάρχου τελευτὴν συν τάξεις ἐγδεδωκότων, εἰ δέ τις βούλεται, καὶ με τὰ τὴν ἔγλειψιν τῶν Ἐ πικούρου διακηκοό των ἁπάντων. ἀλλ’ ἔ[στα]ι δυ[νατὸν ἐὰν τοῦτ]ο καὶ ἃ μ[ὲν εἰρ]γά[σαντο πάντες οἱ] μεθ’ Ἕ[ρ]μαρχον [ἐ]μβάν τες εἰς [τ]ὴν αἵρεσιν, ὁμοι ότρο[π]ά τις παρ[α]στήσηι καὶ βε[βο]υλη[μ]ένους καὶ πεπραχότας, ὅπερ οὐ πρότερον οἴομαι τοῦ πάντας ἀνθρώπους μέλανα[ς] εἶναι καὶ μι κροὺς καὶ δι[εσ]τραμμέ νους. [5]

t23-24 DICTA Ἑρμάρχου.

23 Εὐκαταφρόνητος ὁ θάνατος· ἄπρακτον γὰρ τὸ ποιοῦν τοῦ πάσχοντος ἀνῃρημένου. Ἑρμάρχου.

24 Ἀτέκμαρτος ὁ πᾶς βίος, οὐδὲν ἔχων πιστὸν πλανᾶται συντυχίαις· ἐλπὶς δὲ φρένας παραθαρσύνει· τὸ δὲ μέλλον ἀκριβῶς οἶδεν οὐδεὶς θνατὸς ὅπῃ φέρεται· θεὸς δὲ πάντας ἐν κινδύνοις θνατοὺς κυβερνᾷ. ἀντιπνέει δὲ πολλάκις εὐτυχίαις δεινή τις αὔρα. OPERA φέρεται καὶ τούτου βιβλία κάλλιστα τάδε. [5]

25 Ἐπιστολικά· Περὶ Ἐμπεδοκλέους, εἴκοσι καὶ δύο· Περὶ τῶν μαθημάτων· Πρὸς Πλάτωνα· Πρὸς Ἀριστοτέλην. ὑποψί[α]ν τινὰ [λ]αμβά νων ὡς περί .

26 .. τῶν εἰς Μητρό δωρον ἀναφερομένων ... καὶ τῶν εἰς Ἕρμαρχον. A SCRIPTIS CERTIS CONTRA EMPEDOCLEM Ἕ[ρμαρ] χός θ’ ὁμ[οί]ως σ[.

27 ..] ετη[..]αν ψυχὴν ἐκ || θεῶν πο[———] θαι συν . [...· κἀν] τῆι πρώ[τηι Πρὸς Ἐμπεδο] κλέα γρ[αφῆι——— Ἑρμάρχου [Πρὸ]ς Ἐμπεδοκλέ[α] ἔτι πρότ[ερον] καὶ τοῦθ’ Ἕ[ρμ]α[ρχος] ἐν τῶι τελευτ[αίωι τ]ῶν Πρὸς Ἐμπεδο κλέα παρασηι[μαίνεται] καὶ προστιθεῖ· [πε] ρ[ὶ] δὲ μεταφορᾶ[ς ἐ] χρήσατο κατα [——— Ἕρμα]ρχός γε [———περ]ὶ τιμῆς θε [ῶν συνέ]γραψεν αλ [———]κε [ .

30 ]νη [——— πε]ρὶ γὰρ Ἐπι [κούρ]ου [πο]λλὰ λέ 〈γ〉 ων [ἐν] τῶι τελευταίωι [τ]ῶι πρὸ[ς Ἐ]μπεδο [κλ]έα ... ο[ἶ]μα[ι δ’ ἐκεῖ] νό γε τὸν ἄ[δικον] ὑποτρέχει[ν, ὅπερ] Ἕρ[μ]αρχός [φησιν, ὡς]

Eulogikon public reading copy · View original HTML at eulogikon.org

βλάπτειν [οὐ δοκεῖ] θεὸς τοὺς ἀ[δικοῦν] τας, 〈ἂν λ〉 άθωσιν [κατὰ τὸν] λόγον τοῦτ[ον καὶ] οἱ φαυλότατ[οι τῶν] ἀνθρώπων.

32 νοητέον δὲ κατὰ τὸν Ἕρμαρχον κ(αὶ) ἐπισπω μ[ένους π]νεῦ[μ]α κ(αὶ) προιεμένους τοὺς θεούς· [τού]του γὰρ αὖ χωρὶς οὐδ’ ἔτι τοιαῦτα ζῶια νοήσο μ[εν], οἷα προειλήφαμεν, ὡς οὐδ’ ἰχθῦς ἀπρ(οσ)δεή τους ὕδατος οὐδ’ ὄρνιθας πτερῶν εἰς τὴν δι’ ἀέ [ρος φ]οράν· ο[ὐ γ]ὰρ μᾶλλον τὰ τοιαῦ[τ’ ἐννοε]ῖται lacuna μήτε δ’ εἶναι πεζ[ὸν] εἴτε φθαρτὸν εἴ[τ...]υ[ . ]ον οὐ πρ(οσ)δεόμενον ἀναπνοῆς οὐ ῥητέον, ὡς οὐδὲ [χ]ιόνα χ[ωρὶ]ς λε[υκό]τητος ἢ πῦρ ἂν ἄνευ θερμό τητος. κ(αὶ) φωνῆι δὲ χρῆσθαι καὶ ὁμειλίαι τῆι πρὸς ἀλλήλους ῥητέον· οὐ γὰρ μᾶλλον εὐδαίμονας κ(αὶ) ἀδιαλύτους νοήσομεν, φησί, μὴ φωνοῦντας μηδ’ ἀλλήλοις διαλεγομένους, ἀλλὰ τοῖς ἐνεοῖς ἀνθρώποις ὁμοίους· τῶι γὰρ ὄντι φωνῆ 〈ι〉 χρωμέ||νων ἡμῶν, ὅ[σοι] μή τι πεπηρώμεθα, τοὺς θεοὺς ἢ πεπηρῶσθαι λέγειν ἢ μὴ κατὰ τουθ’ ἡμῖν ὡμοι ῶσθαι, μηδ’ ἑτ[έρ]ως μηδετέρων ἐκκοπτόντων ἀναφθέγματα, [κ(αὶ)] ὑπερεύηθες, ἄ[λλως τε] κ(αὶ) τῆς πρ(ὸς) τοὺς ὁμοίου[ς] τοῖς σπουδαίο[ις] κοινολογίας ἄ φατον ἡδονὴν καταχεούσης· κ(αὶ) νὴ Δία γε τὴν Ἑλ ληνίδα νομιστέον ἔχειν αὐτοὺς διάλεκτον, ἢ μὴ πόρρω, [..]σαρσ[ . ]δε[...]τωκ[——— ———] σοφο[ὶ] πάντε[ς ... .......] λέγονται μὴ πολὺ διαφερούσαις κατὰ τὰς ἀρθρώσεις χρῆσθαι φω ναῖς· κ(αὶ) μόνους οἴδαμεν γεγονότας σοφοὺς Ἑλλη νίδι γλώττη 〈ι〉 χρωμ[έ]νους. Οἱ δὲ ἀπὸ τοῦ Ἐπικούρου ὥσπερ γενεαλογίαν μακρὰν διεξιόντες φασὶν ὡς οἱ παλαιοὶ νομοθέται, ἀπιδόντες εἰς τὴν τοῦ βίου κοινωνίαν τῶν ἀνθρώπων καὶ τὰς πρὸς ἀλλήλους πράξεις, ἀνόσιον ἐπεφήμισαν τὴν ἀνθρώπου σφαγὴν καὶ ἀτιμίας οὐ τὰς τυχούσας προσῆψαν, τάχα μὲν καὶ φυσικῆς τινος οἰκειώσεως ὑπαρχούσης τοῖς ἀνθρώποις πρὸς ἀνθρώπους διὰ τὴν ὁμοιότητα τῆς μορφῆς καὶ τῆς ψυχῆς εἰς τὸ μὴ προχείρως φθείρειν τὸ τοιοῦτον ζῷον ὥσπερ ἕτερόν τι τῶν συγκεχωρημένων· οὐ μὴν ἀλλὰ τήν γε πλείστην αἰτίαν τοῦ δυσχερανθῆναι τοῦτο καὶ ἀνόσιον ἐπιφημισθῆναι τὸ μὴ συμφέρειν εἰς τὴν ὅλην τοῦ βίου σύστασιν ὑπολαβεῖν. [10]

34 Ἀπὸ γὰρ τῆς τοιαύτης ἀρχῆς οἱ μὲν παρακολουθήσαντες τῷ συμφέροντι τοῦ διορίσματος οὐδὲν προσεδεήθησαν ἄλλης αἰτίας τῆς ἀνειργούσης αὐτοὺς ἀπὸ τῆς πράξεως ταύτης, οἱ δὲ μὴ δυνάμενοι λαβεῖν αἴσθησιν ἱκανὴν τούτου τὸ μέγεθος τῆς ζημίας δεδιότες ἀπείχοντο τοῦ κτείνειν προχείρως ἀλλήλους. Ὧν ἑκάτερον φαίνεται καὶ νῦν ἔτι συμβαῖνον. Καὶ γὰρ οἱ μὲν θεωροῦντες τὸ συμφέρον τῆς προειρημένης διατάξεως ἑτοίμως ἐπ’ αὐτῆς μένουσιν, οἱ δὲ μὴ δεκτικοὶ τούτου τὰς ἀπειλὰς φοβούμενοι τῶν νόμων, ἃς ἕνεκα τῶν ἀσυλλογίστων τοῦ χρησίμου διώρισάν τινες, παραδεξαμένων αὐτὰς τῶν πλειόνων. Οὐδὲν γὰρ ἐξ ἀρχῆς βιαίως κατέστη νόμιμον οὔτε μετὰ γραφῆς οὔτε ἄνευ γραφῆς τῶν διαμενόντων νῦν καὶ διαδίδοσθαι πεφυκότων, ἀλλὰ συγχωρησάντων αὐτῷ καὶ τῶν χρησαμένων. Φρονήσει γὰρ ψυχῆς, οὐ ῥώμῃ σώματος καὶ δυναστευτικῇ δουλώσει τῶν ὄχλων διήνεγκαν οἱ τὰ τοιαῦτα τοῖς πολλοῖς εἰσηγούμενοι, καὶ τοὺς μὲν εἰς ἐπιλογισμὸν τοῦ χρησίμου καταστήσαντες ἀλόγως αὐτοῦ πρότερον αἰσθανομένους καὶ πολλάκις ἐπιλανθανομένους, τοὺς δὲ τῷ μεγέθει τῶν ἐπιτιμίων καταπλήξαντες. Οὐ γὰρ ἦν ἑτέρῳ χρῆσθαι φαρμάκῳ πρὸς τὴν τοῦ συμφέροντος ἀμαθίαν ἢ τῷ φόβῳ τῆς ἀφωρισμένης ἀπὸ τοῦ νόμου ζημίας. Αὕτη γὰρ κατέχει μόνη καὶ νῦν τοὺς τυχόντας τῶν ἀνθρώπων καὶ κωλύει τὸ μήτε κοινῇ μήτε ἰδίᾳ τὸ ἀλυσιτελὲς πράττειν. Εἰ δὲ πάντες ἐδύναντο βλέπειν ὁμοίως καὶ μνημονεύειν τὸ συμφέρον, οὐδὲν ἂν προσεδέοντο νόμων, ἀλλ’ αὐθαιρέτως τὰ μὲν εὐλαβοῦντο τῶν ἀπειρημένων, τὰ δὲ ἔπραττον τῶν προστεταγμένων. Ἱκανὴ γὰρ ἡ τοῦ χρησίμου καὶ βλαβεροῦ θεωρία τῶν μὲν φυγὴν παρασκευάσαι, τῶν δὲ αἵρεσιν. Ἡ δὲ τῆς ζημίας ἀνάτασις πρὸς τοὺς μὴ προορωμένους τὸ λυσιτελοῦν. Ἀναγκάζει γὰρ δεσπόζειν ἐπικρεμαμένη ταῖς ἀγούσαις ἐπὶ τὰς ἀσυμφόρους πράξεις ὁρμαῖς, καὶ βίᾳ συναναγκάζει τὸ δέον ποιεῖν. Ἐπεὶ καὶ τὸν ἀκούσιον φόνον οὐκ ἔξω πάσης ζημίας κατέστησαν οἱ νομοθέται, ὅπως μηδεμίαν ἐνδῶσι πρόφασιν τοῖς ἑκουσίως τὰ τῶν ἀκουσίως δρώντων ἔργα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μιμεῖσθαι προαιρουμένοις, ἀλλ’ ὅπως μὴ ἀφύλακτον ᾖ μηδὲ ἠμελημένον τὸ τοιοῦτο, ὥστε πολλὰ πρὸς ἀλήθειαν ἀκούσια συμβαίνειν.

34 (50) Οὐ γὰρ συνέφερεν οὐδὲ τοῦτο διὰ τὰς αὐτὰς αἰτίας δι’ ἃς καὶ τὸ καθ’ ἑκούσιον τρόπον φθείρειν ἀλλήλους. Ὥστε τῶν ἀκουσίων τῶν μὲν παρὰ τὴν ἀστάθμητον αἰτίαν καὶ ἀφύλακτον γιγνομένων ἀνθρωπίνῃ φύσει, τῶν δὲ παρὰ τὴν ἡμετέραν ἀμέλειαν καὶ ἀνεπίστατον τῆς διαφορᾶς, βουληθέντες κωλῦσαι τὴν βλάπτουσαν αὐτοὺς 〈τοὺσ〉 πλησίον ῥᾳθυμίαν, οὐκ ἀθῷον κατέστησαν ζημίας οὐδὲ τὴν ἀκούσιον πρᾶξιν, ἀλλὰ τῷ φόβῳ τῶν ἐπιτιμίων ἀφεῖλον τὸ πολὺ τῆς τοιαύτης ἁμαρτίας. Οἶμαι δ’ ἔγωγε καὶ τοὺς συγκεχωρημένους ὑπὸ τοῦ νόμου φόνους τὰς ἀφοσιώσεις λαμβάνειν τὰς εἰθισμένας διὰ τῶν καθαρμῶν παρ’ οὐδεμίαν ἑτέραν αἰτίαν ὑπὸ τῶν πρώτων καλῶς ταῦτα εἰσηγησαμένων ἢ παρὰ τὸ τῆς ἑκουσίου πράξεως ὅτι πλεῖστον βούλεσθαι τοὺς ἀνθρώπους ἀφιστάναι. Πανταχόθεν γὰρ ἐδέοντο τοῦ κωλύσοντος ἑτοίμως πράττει τὸ μὴ συμφέρον οἱ τυχόντες. Ὅθεν οὐ μόνον ζημίας ἔταξαν οἱ πρῶτοι τοῦτο συνειδότες, ἀλλὰ καὶ ἕτερον φόβον ἄλογον ἐπήρτησαν, οὐ καθαροὺς ἐπιφημίσαντες εἶναι τοὺς ὅπως οὖν ἄνθρωπον ἀνελόντας, μὴ χρησαμένους καθαρμοῖς. Τὸ γὰρ ἀνόητον τῆς ψυχῆς ποικίλως παιδαγωγηθὲν ἦλθεν εἰς τὴν καθεστῶσαν ἡμερότητα, προσμηχανωμένων ἐπὶ τῆς ἀλόγου φορᾶς ἐπιθυμίας τιθασεύματα τῶν ἐξ ἀρχῆς τὰ πλήθη διακοσμησάντων· ὧν ἐστι καὶ τὸ μὴ κτείνειν ἀλλήλους ἀκρίτως. Τῶν δὲ λοιπῶν ζῴων εἰκότως οὐδὲν διεκώλυσαν φθείρειν οἱ πρῶτοι διορίσαντες ἅ τε δεῖ ποιεῖν ἡμᾶς καὶ ἃ μή· τὸ γὰρ συμφέρον ἐπὶ τούτων ἐκ τῆς ἐναντίας ἀπετελεῖτο πράξεως. Οὐ γὰρ δυνατὸν ἦν σῴζεσθαι μὴ πειρωμένους ἀμύνεσθαι τοῦτο συντρεφομένους μετ’ ἀλλήλων. Διαμνημονεύοντες δέ τινες τῶν τότε χαριεστάτων ὡς αὐτοί τε ἀπέσχοντο τοῦ κτείνειν διὰ τὸ χρήσιμον πρὸς τὴν σωτηρίαν, τοῖς τε λοιποῖς ἐνεποίουν μνήμην τοῦ ἀποβαίνοντος ἐν ταῖς μετ’ ἀλλήλων συντρόφαις, ὅπως ἀπεχόμενοι τοῦ συγγενοῦς διαφυλάττωσι τὴν κοινωνίαν, ἣ συνήργει πρὸς τὴν ἰδίαν ἑκάστου σωτηρίαν. Οὐ μόνον δὲ χρήσιμον ἦν τὸ χωρίζεσθαι μηδὲ λυμαντικὸν ποιεῖν μηδὲν τῶν ἐπὶ τὸν αὐτὸν τόπον συνειλεγμένων πρὸς τὸ τῶν ἀλλοφύλων ἐξόρισμα ζῴων, ἀλλὰ καὶ πρὸς ἀνθρώπους τοὺς ἐπὶ βλάβῃ παραγιγνομένους. Μέχρι μὲν οὖν τινος διὰ ταύτην ἀπείχοντο τοῦ συγγενοῦς, ὅσον ἐβάδιζεν εἰς τὴν αὐτὴν κοινωνίαν τῶν ἀναγκαίων καὶ χρείας τινὰς παρείχετο πρὸς ἑκάτερον τῶν εἰρημένων· ἐλθόντος δὲ ἐπὶ πλέον τοῦ χρόνου καὶ τῆς δι’ ἀλλήλων γενέσεως μακρὰν προηκούσης, ἐξεωσμένων δὲ τῶν ἀλλοφύλων ζῴων καὶ τῆς παρασπάρσεως, ἐπιλογισμὸν ἔλαβόν τινες τοῦ συμφέροντος ἐν ταῖς πρὸς ἀλλήλων τροφαῖς, οὐ μόνον ἄλογον μνήμην. Ὅθεν ἐπειράθησαν βεβαιοτέρως ἀνεῖρξαι τοὺς προχείρως φθείροντας ἀλλήλους καὶ τὴν βοήθειαν ἀσθενεστέραν κατασκευάζοντας διὰ τὴν τοῦ παρεληλυθότος λήθην. Πειρώμενοι δὴ τοῦτο δρᾶν τὰς ἔτι μενούσας καὶ νῦν κατὰ πόλεις τε καὶ ἔθνη νομοθεσίας εἰσήνεγκαν, ἐπακολουθήσαντος τοῦ πλήθους αὐτοῖς ἑκουσίως παρὰ τὸ μᾶλλον ἤδη τοῦ συμφέροντος ἐν τῇ μετ’ ἀλλήλων ἀθροίσει λαμβάνειν αἴσθησιν.

34 (100) Ὁμοίως γὰρ εἰς τὴν ἀφοβίαν συνήργει τό τε λυμαντικὸν πᾶν κτεινόμενον ἀφειδῶς καὶ τὸ χρήσιμον πρὸς τὴν τούτου φθορὰν διατηρούμενον. Ὅθεν εἰκότως τὸ μὲν ἀπηγορεύθη, τὸ δὲ οὐκ ἐκωλύθη τῶν εἰρημένων. Ἐκεῖνο δὲ λέγειν οὐκ ἔστιν, ὡς ἔνια τῶν ζῴων οὐ φθαρτικὰ τῆς ἀνθρωπίνης ὄντα φύσεως οὐδὲ καθ’ ἕτερον οὐδένα τρόπον λυμαινόμενα τοὺς βίους συγκεχώρηκεν ὁ νόμος ἀναιρεῖν ἡμῖν. Οὐδὲν γάρ, ὡς εἰπεῖν, ἐστὶ τοιοῦτο τῶν ὑπὸ τοῦ νόμου συγκεχωρημένων, ὅπερ οὐκ ἐώμενον λαμβάνειν τὴν ὑπερβολὴν τῆς ἀφθονίας βλαπτικὸν γίγνοιτ’ ἂν ἡμῶν· ἐν δὲ τῷ νῦν πλήθει διατηρούμενον χρείας παρέχεταί τινας εἰς τὸν βίον. Καὶ γὰρ πρόβατον καὶ βοῦς καὶ πᾶν τὸ τοιοῦτο μετριάζον μὲν φέρει τινὰς πρὸς τὴν ἀναγκαίαν ἡμῖν διαγωγὴν ὠφελείας, εἰς πᾶσαν δὲ ἐκπεσὸν δαψίλειαν καὶ μακρὰν ὑπεροχὴν ἔχουσαν τῆς καθεστώσης λυμαίνοιτ’ ἂν τὸν βίον ἡμῶν, τὸ μὲν καὶ πρὸς ἀλκὴν τρεπόμενον, ἅτε φύσεως

Eulogikon public reading copy · View original HTML at eulogikon.org

εὐφυοῦς εἰς τοῦτο μετέχον, τὸ δὲ μόνον τὴν ἀνεθεῖσαν ἡμῖν ἐκ τῆς γῆς τροφὴν καταναλίσκον. Διὸ καὶ παρὰ τὴν αἰτίαν ταύτην οὐδὲ τὰ τοιαῦτα τῶν ζῴων ἐκωλύθη φθείρειν, ἵνα τὸ συμφέρον πρὸς τὴν χρείαν καταλείπηται πλῆθος καὶ τὸ ῥᾳδίως κρατεῖσθαι δυνησόμενον. Οὐ γὰρ ὥσπερ ἐπὶ λεόντων καὶ λύκων καὶ ἁπλῶς τῶν ἀγρίων προσαγορευομένων ζῴων, ὁμοίως μικρῶν τε καὶ μεγάλων, οὐκ ἔστιν οὐδὲν λαβεῖν πλῆθος ὃ καταλειπόμενον ἐπεκούφιζεν ἂν τὸν ἀναγκαῖον ἡμῶν βίον, οὕτω καὶ ἐπὶ βοῶν καὶ ἵππων καὶ προβάτων ἔχει καὶ ἁπλῶς τῶν ἡμέρων ὀνομαζομένων ζῴων. Ὅθεν τὰ μὲν ἄρδην φθείρομεν, τῶν δὲ τὸ πλεῖον τῆς συμμετρίας ἀφαιροῦμεν. Διὰ παραπλησίους ταῖς εἰρημέναις αἰτίας καὶ τὰ περὶ τὴν ἐδωδὴν διορισθῆναι τῶν ἐμψύχων νομιστέον ὑπὸ τῶν ἐξ ἀρχῆς ταῦτα καταλαβόντων νόμῳ, ἐπὶ δὲ τῶν οὐκ ἐδωδίμων αἴτιον τὸ συμφέρον καὶ ἀσύμφορον. Ὥστε τοὺς λέγοντας ὅτι πᾶν τὸ καλὸν καὶ δίκαιον κατὰ τὰς ἰδίας ὑπολήψεις ἐστὶ περὶ τῶν νενομοθετημένων ἠλιβάτου τινὸς γέμειν εὐηθείας. Οὐ γάρ ἐστιν οὕτως ἔχον τοῦτο, ἀλλ' ὅνπερ τρόπον ἢ ἐπὶ τῶν λοιπῶν συμφερόντων, οἷον ὑγιεινῶν τε καὶ ἑτέρων μυρίων εἰδῶν 〈...〉 ἀλλὰ διαμαρτάνουσιν ἐν πολλοῖς τῶν τε κοινῶν ὁμοίως καὶ τῶν ἰδίων. Καὶ γὰρ τὰ παραπλησίως ἐφαρμόττοντα νομοθετήματα πᾶσιν οὐ καθορῶσί τινες, ἀλλ' οἳ μὲν τῶν ἀδιαφόρων δοξάζοντες εἶναι παραλείπουσιν, οἳ δὲ τὴν ἐναντίαν δόξαν ὑπὲρ αὐτῶν ἔχουσιν, καὶ τὰ μὴ καθόλου συμφέροντα πανταχοῦ τινες οἴονται συμφέρειν. Ὅθεν διὰ τὴν αἰτίαν ταύτην ἀντέχονται τῶν οὐκ ἐφαρμοττόντων, εἰ καὶ ἐπί τινων ἐξευρίσκουσι τά τε πρὸς αὑτοὺς λυσιτελῆ καὶ τὰ κοινὴν ἔχοντα τὴν ὠφέλειαν. Ὧν ἐστι καὶ τὰ περὶ τὰς ἐδωδὰς τῶν ἐμψύχων καὶ φθορὰς ἐν τοῖς πλείστοις τῶν ἐθνῶν διατεταγμένα διὰ τὸ τῆς χώρας ἴδιον, οἷς οὐκ ἀναγκαῖον ἐμμένειν ἡμῖν διὰ τὸ μηδὲ τὸν αὐτὸν οἰκεῖν τόπον. Εἰ μὲν οὖν ἠδύναντο ποιήσασθαί τινα συνθήκην ὥσπερ πρὸς ἀνθρώπους οὕτω καὶ πρὸς τὰ λοιπὰ τῶν ζῴων ὑπὲρ τοῦ μὴ κτείνειν μήτε πρὸς ἡμῶν ἀκρίτως αὐτὰ κτείνεσθαι, καλῶς εἶχε μέχρι τούτου τὸ δίκαιον ἐξάγειν· ἐπιτεταμένον γὰρ ἐγίγνετο πρὸς τὴν ἀσφάλειαν.

34 (150) Ἐπειδὴ δὲ τῶν ἀμηχάνων ἦν κοινωνῆσαι νόμου τὰ μὴ δεχόμενα τῶν ζῴων λόγον, διὰ μὲν τοῦ τοιούτου τρόπου τὸ συμφέρον οὐχ οἷόν τε κατασκευάσασθαι πρὸς τὴν ἀπὸ τῶν ἄλλων ἐμψύχων ἀσφάλειαν μᾶλλόν περ ἢ τῶν ἀψύχων, ἐκ δὲ τοῦ τὴν ἐξουσίαν λαμβάνειν, ἣν νῦν ἔχομεν, εἰς τὸ κτείνειν αὐτὰ μόνως ἔστι τὴν ἐνδεχομένην ἔχειν ἀσφάλειαν. Τοιαῦτα μὲν καὶ τὰ τῶν Ἐπικουρείων. Τοιαῦτα μὲν καὶ τὰ παρὰ Κλωδίῳ καὶ Ἡρακλείδῃ τῷ Ποντικῷ Ἑρμάρχῳ τε τῷ Ἐπικουρείῳ καὶ τοῖς ἀπὸ τῆς στοᾶς καὶ τοῦ περιπάτου, ἐν οἷς καὶ τὰ ὑμέτερα, ὅσα ἡμῖν ἀπηγγέλθη, περιείληπται. SCRIPTA PER EPISTULAS τοῖς δ' ἡμε τέροις μεμπτέον ἂν εἴη καὶ περιττότε ρον τοῖς γέ τοι ⟦ ς ⟧ τοιού [το]ις, ὅσοι καὶ τὴν σοφις [τ]ικὴν ῥητορικὴν οὐ κ εἶναι τέχνην διειλή φασι καὶ τούτου συστα τικοὺς λόγους πεποιή κασι.

35 εἰ γὰρ Ἐπ[ί]κουρος καὶ Μητρόδωρος ἔτι δ' Ἕρμαρχος ἀποφαί νονται τέχνην ὑπάρ χειν τὴν τοι` αύ ʹτην ὡς ἐν τοῖς ἑξῆς ὑπο μνήσομεν, οἱ τούτοις ἀντιγράφοντες οὐ πάνυ τι μακρὰν τῆς τῶν πατραλοιῶν καταδίκης ἀφες τήκασιν. [ἀ]λλὰ μὴν καὶ Ἕρ μα[ρ]χος ἐπὶ Μενεκλέου[ς ἔ]ν τινι πρὸς Θεοφείδην ἐπιστολῆ[ι] τὴν αὐτὴ[ν] ἔχε[ι] γνώμην.

36 Ἀλεξ[ίνο]υ γὰρ ἐν τοῖς Π[ε]ρὶ ἀγωγῆς [κ]ατηγοροῦ[ν]τος τῶν ῥη τορικῶν [σο]φιστῶν ὅτι πολλὰ ζητοῦσιν ἀχρής τως, ὧν ἐστι καὶ τὸ περὶ τὴν λέξιν αὐτῶν πρα γμάτευμα καὶ τὸ περὶ τὴν [μ]νήμην καὶ ἐν οἷς ἐ πιζητοῦσι λέγειν Ὅμη ρον "συμβέβηκεν" ἐν τοῖς ἔπεσιν ὧν ἀρχὴ "[ἄ]στρα [δὲ] δὴ προβέβηκε" καὶ πε||ρί τινω[ν] ἄλ[λω]ν [πα]ρά τε τού[τ]ωι καὶ π[αρ'] Εὐρι πίδηι, ποεῖ[τ]αι [ἐγκλ]ή ματα καὶ ἐν τῆι συ[γκ]ε φαλαιώσει τῶν εἰρ[η]μέ νων καὶ [ἐ]πιφορᾶι· καὶ ἄλλα δ[ή] τ]ινα προσά ⟦ πτ ⟧ πτον[τες], ἐπαινέσαν τες δ' [ἄλλ]οτε ἄλλον [κ]α[ὶ] ἂν οἴ〈οι〉σθ' ἑκάτερο[ν] ἀποδ[είξ]αιτο δ' ἂν [περὶ] αὐτῶν [δ]ιότι περὶ χρη σίμων [γε] πλείστων ἔξωθε[ν] ἐπιχειροῦσ[ι]ν λόγους [ποιε]ῖσθαι τοιού τους, ο[ἵους ἐγ]κρ[ῖ]ναι τῶν [φ]ιλοσ[όφω]ν ἐστίν. [καὶ] γὰρ εἰ μ[ὴ κ]ατ' ἐπιστ[ή] μ[ην περαί]νονται τ[ὰ πα] ρ[ὰ] ἑαυ[τῶ]ν, ἀλλὰ κατά τινα εἰκοτολογίαν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ σ[το]χασμόν Lacuna [τοια]ῦτα δή τινα τοῦ Ἀλεξίνου φλυ [α]ρήσαντος, πρὸς τοὐπὶ [π]ᾶσι διαλεγόμενος “τὸ περὶ χρησίμων διαλέ [γ]εσθαί, φησιν, εἰ μὲν ταὐ [τὸ]ν δεῖ λαβεῖν τῶι πε ρὶ τοιούτων ἐξ ὧν γί νεται τὸ κέρδος ἐπ’ ἀργυ ρ[ίωι] λ[ό]γο[υς] στρέφειν δυ ναμένοις παντοδα{α} ||πῶς, πᾶσα δ’ ἐ[ξ]ουσία ἐσ[τί], θέτε μανικ[ὸ]ν τελε[ί] ως”. εἶτα δεί[ξ]ας τὸ μανικὸν οἰ[κεί]ως τῆς ὑπολήψεως. τοτ [———] “περὶ τοιούτων, φησίν, ἐξ ὧν συνίστατα[ι] Lacuna παραχω[ρῶμε]ν γὰρ τὴν ἀσυνή[θειαν αὐ] τῆς 〈σ〉 φάλλειν τοὺς φρ[ο]ν[ί] μους καὶ ἐπιεικεῖς ἐμ πράγμασιν εἰς ὄχ[λ]ους βα δίζουσι καὶ ἐλέ[γχ]ου[ς] || καὶ συκοφάντας καὶ ὅ[ρ] κο[υς] καὶ μαρτ[υρί]ας ψε[υδ]εῖς. ἀπολέ[σ]αι [γ]ὰρ κρεῖττον ἀργύριον πο [λὺ κ]αὶ χωρίο[ν δικα]στὴν [χλευ]άσαντα [κ]αὶ τοὺς [κ]υ[ρι]ωτάτο[υς] καὶ με γί[στο]υς φόβους [τῆι] τῆς ψυχῆς ἕξει [φυγόν]τα τε λέως, ἢ τούτους ἔχον τα νικᾶν τὰς συμπάσας δίκ[ας] Lacuna δίκας μὴ μελετᾶν μ[η]δὲ ῥη τορικῆς τέχνη[ς] ἐμπει ρ[ία]ν [ἔχε]ιν ἀλλὰ φεύγειν [τοὺς π]αρατι[θέν]τας Lacuna ἄξι ον ἐπι[θαυμ]άζειν τοὺς [ῥη]το[ρι]κ[οὺ]ς ὡς χρησί μ[ως πολι]τευομένους οὐ κατ’ αὐ[τὸ] τὸ καινὸν ἕστηκεν ὁ λόγος αὐτοῦ. κα[ὶ γὰρ] μαγείρους καὶ καπήλους χρήσιμόν τ[ι π]ράττειν ἡμῖν [ὑ]πο λ[αμ]βάνοιμεν ἄν, ἀλλά Lacuna καὶ γὰρ ἄγροικο[ς] ἄνθρωπ[ος καὶ γρ]αμμά τω[ν ὅ]λω[ς ἀνεπ]ιστ[ή μ]ων οὐ ῥητορικ[ῆ]ς μό νον ἐμπειρίας ἔξω κα θεστηκώς, ἱκανὸς ἐξευ ρεῖν τὰ δήμ[ο]ις συμφέ ροντα καὶ διερμηνεῖς θαι [σ]αφῶς. τὸ δὲ δὴ μὴ [κατ’] ἐ[πιστή]μην περαί [νεσθαί] τ[ινα]ς τῶν ῥητο||[ρ]ικῶν λόγων ἀλλ’ ἐμπει ρίαι καὶ στοχασμῶι [πῶ]ς δεῖ πάλιν λαβεῖν; ο[ὐ] γὰρ αὐτό γε τοῦτο δήπου νο εῖν δεῖ, σημαίνεσθαι κα τὰ τὴν λέξιν ταύτην τὸ μὴ συλλογισμοὺς δι αλεκτικοὺς ἔχειν αὐ τούς· οὐ γάρ τινες τοῦ[το] πεπόνθασιν ἀλλ’ ἅ[παν] τες, χωρὶς τοῦ μ[ηδ’ αὐ] τῶι συναρέσκειν τοῦτ[ο] λίαν.

36 (50) [Εὐ]βουλίδι γοῦν ἐγκα[λεῖ] που καταφρο νοῦν[τι] τῶν μὴ συλλο γισμοὺς ἐχόντων λόγων· μανθάνειν γὰρ {τουτων} καὶ ἄνευ τούτων ἡμᾶς τὰ πράγματά φησιν”. παιδε[ί]αι χορεύσαντες [οὐ]κ ἂν [ὑ]πονο[η]θείησαν ἀλλ’ “ἀγράμ ματοι — φησὶν ὁ Ἐπ[ίκου]ρος — ἄν θρ[ω]ποι”, καὶ ἀγροίκου[ς] φ` η ʹσὶν Ἕ[ρ]μαρχο[ς], λογικῆς οὔσης τῆς μαθήσεως .

37 .. τὸ τοίνυν οὐκ εἶναι κατὰ τοὺς ἄνδρ[ας] τὴ[ν σο] φιστι` κὴν ῥητορι[κ] ʹὴν δημι ουργὸν τῆς ἐμπράκτ[ου] καὶ πολειτικῆς ῥητορι κῆς, δηλοῖ μὲν καὶ τὸ πρῶ τον Περὶ ποιημάτ[ω]ν δι ὰ πλειόνων· ἀποχρή[σει] δὲ καί τινα τῶν ἐκεῖθεν ὑφ’ ἡμῶν παρακειμένων οὐ φατικῶς διασαφοῦντα μόν` ον ʹ, ἀλλὰ καὶ πίστεις πε [ρι]ε[ι]ληφότα.

38 δηλοῖ δὲ καὶ [Ἕ]ρμαρχος, δι’ ὧν παρεθέμε [θ]α ... [ἀλλὰ] τῆι ῥη [το]ρικῆι τῶν σοφιστικῶν [οὐ] συμβέβ[ηκ]εν εἶναι πο [λι]τικῆι καθ[ὸ] ῥητορική ἐς τιν, οὐδὲ τῶι ῥήτορι τῶι [τοιού]τω[ι], καθὸ ῥήτωρ ἐς τίν, τὸ πολιτικῶι εἶναι οὐδὲ πάλ[ιν τῶι πολιτι κ]ῶι τὸ ῥη[τορικῶι, καθάπερ ——— Ἐπί] κουρός φησιν ἐν [τῶι] Περὶ ῥ[ητορ]ικῆς καὶ Μ[ητρόδ]ω [ρος] ἐν τῶι πρώτωι Π[ερ]ὶ πο[ιημά]των καὶ Ἕρ[μ]αρ [χος ἐπ]ὶ Μενεκλέους [ἕ]ν [τινι πρὸς Θε]οφείδην ἐπι [στολῆι ———] EPISTULAE πεπόηκεν δὲ νέοις ἀργοῖς ὠφελί μους καὶ [τ]ὰς ἐπιτομὰς τ[ῶν] ἐπιστολῶν τῶν Ἐπικούρ[ου], Μητροδώρου, Πολυαίνου, Ἑρμάρχου καὶ τῶν .

40 [———] μω[....] κατὰ γένος ἐπ[ι] στο[λῶν. οὗτος οὖν ὁ Ἐπίκουρος οὐ Λεόντιον εἶχεν ἐρωμένην τὴν ἐπὶ ἑταιρείᾳ διαβόητον γενομένην; ἡ δὲ οὐδ’ ὅτε φιλοσοφεῖν ἤρξατο ἐπαύσατο ἑταιροῦσα, πᾶσι δὲ τοῖς Ἐπικουρείοις συνῆν ἐν τοῖς κήποις, Ἐπικούρῳ δὲ καὶ ἀναφανδόν· ὥστ’ ἐκεῖνον πολλὴν φροντίδα ποιούμενον αὐτῆς τοῦτ’ ἐμφανίζειν διὰ τῶν πρὸς Ἕρμαρχον Ἐπιστολῶν.

42 τελευτῆσαι δ’ αὐτὸν λίθῳ τῶν οὔρων ἐπισχεθέντων, ὥς φησι καὶ Ἕρμαρχος ἐν ἐπιστολαῖς ἡμέρας νοσήσαντα τετταρεσκαίδεκα. A SCRIPTIS INCERTIS ἀρέσκει δὲ καὶ || τοῖς καθηγεμόσιν οὐ τὸ κατ[ὰ] τὴν πρόληψιν [τ]αύ την θυμωθήσεσθαι τὸν σο [φ]όν, ἀλλὰ τὸ κατὰ τὴν κοι [ν]οτέραν.

43

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ γὰρ ὁ Ἐπίκου [ρ]ος ἐν ταῖς Ἀναφωνήσεσιν [δ]ιασαφεῖ [τό] τε θυμωθή σεσθαι καὶ [τὸ] μετρίως· καὶ ὁ Μητρόδω[ρ]ος, εἰ κυρ[ί]ως λέγει “τ[οῦ δὲ] σοφοῦ θυμός”, συνεμφα[ίνε]ι τὸ λίαν βρα χέως· τ[ὸ] δ’ [ὅτ]ι θυμωθή[σ]ε ται καὶ τῶ[ι Ἑρ]μάρχω[ι] π[αρ]αι [τη]τὸν [μὲν οὐ δοκεῖ, ἀλλὰ τ]ὴν [σύντονον μόνον ὀργήν] διὰ ` τί ′ τῶν κο λάκων ἔνιοι καὶ σφόδρα κο λακεύουσιν καὶ λοιδοροῦσι πικρῶς οὓς κολακεύουσι; μά λιστα μὲ[ν] αἰτία ἐστὶν ἣν Ἕρ μαρχος ἀποδίδωσ[ι]· “τὸν γὰρ ἀ[θ]ορύβως διά[γ]οντα, φη[σί], δ[———] καταφρονεῖν ἂν ἀκα[τασχέτως] τῶν [ .

44 ]δ[........]πο[———] πονο[ῦ]σιν ο` ὐ ′ πολιτευόμε νοι”. προσεπιφέρε[ι] τοιγαρ οὖν· “παραιτο 〈ῦ〉 ντα[ι] διὰ μὲν τὸ περὶ πολλοῖς δυσαρεστεῖν στυγοῦντες αὐτούς, διὰ δὲ τὸ περὶ πλείστου ποιεῖσθαι τὰς παρ’ αὐτῶν δό[σεις] καὶ [τ]ιμὰς πάλιν ἀν[τιποι]ού μενοι δουλεύειν· [τοιοῦτό]ν τι [γ]ίνεται, φησί, καὶ [π]ερὶ τοὺς κόλακας· διὰ μὲν αὐτὸ [τὸ] δύσκολον ἐ{ι}ν το[ῖς] ἤθεσιν τῶν κολακευομέ[ν]ων πι κρῶς αὐτοὺς λοιδοροῦσιν, δι ὰ δὲ τὸ μεταλαμ[β]άνειν τὰ γινόμενα παρ’ α[ὐ]τῶν π[ά] λι δεινῶς αὐτοὺς κολακεύ ειν ἀναγκάζονται”. ὡς δ’ ἰδιώτερον εἰπεῖν, αἱ φί λοις καὶ τῶν ἄλλων τοῖς οὐ κ ἀτόποις γινόμεναι μετα δόσεις ἀφαιρέσεις καὶ τῆς ὑπάρξεω[ς μειώ]σεις ἐνίοις εἶναι δο[κ]οῦσ[ιν], εἰ[σὶ]ν δὲ κτή[σ]ει[ς λ]υσιτελέστεραι || κατ[ὰ] τὸν Ἕρμαρχον ἐπιμέλει αι τ[ο]ιούτων ἀνδρῶν ἤπερ ἀγρῶν καὶ πρὸς τὴν τύχην ἀσφαλέστατοι θησαυροί.

46 πρὸ]ς Ἕρμαρχον τη[——— ——— πα]ραστήσομεν εἶν[αι συντο]μώτερον καὶ πλα[——— ———] ἤπερ τ[——— διὰ ταῦτα δὴ καὶ ὁ Τίμαιος ἐπὶ παντὸς ὁρμῇ φησι τοὺς σωφρονοῦντας θεὸν ἀεί που καλεῖν .

48 .. ἀλλά πως, φησὶν ὁ Ἐπικούρειος Ἕρμαρχος, οὐκ εἰς ἄπειρον πρόϊμεν, εἰ ἐπὶ παντὸς ὁρμῇ καὶ σμικροῦ πράγματος εὐχῆς δεόμεθα; καὶ γὰρ ἵνα εὐξώμεθα, πάλιν ἄλλης εὐχῆς δεήσει, καὶ οὐδαμοῦ στησόμεθα. FRAGMENTA DUBIA Ὁ Ἐπικούρου βίος τοῖς τῶν ἄλλων συγκρινόμενος ἕνεκεν ἡμερότητος καὶ αὐταρκείας μῦθος ἂν νομισθείη.

50 ὁ μέντοι μόνον ἀκήκοα τῶν Ἐπικουρείων λεγόντων πρὸς τοὺς εἰσαγομένους ὑπ’ Ἐμπεδοκλέους δαίμονας, ὡς οὐ δυνατὸν εἶναι φαύλους καὶ ἁμαρτητικοὺς ὄντας μακαρίους καὶ μακραίωνας, πολλὴν τυφλότητα τῆς κακίας ἐχούσης καὶ τὸ περιπτωτικὸν τοῖς ἀναιρετικοῖς, εὐήθές ἐστιν. ἀλλ’ ἵνα τἄλλα ἐάσω, τί μᾶλλον ἐναργὲς οὕτως ἐστὶ καὶ πεπιστευμένον ὡς τὸ παρορᾶν καὶ παρακούειν ἐν πάθεσιν ἐκστατικοῖς καὶ μελαγχολικοῖς ὄντα, ὅταν ἡ διάνοια τοιαῦτα πάσχῃ καὶ ταράττηται· “αἱ δέ με δᾳδοφόροι μελανείμονες ὄμμα πυροῦσι·” καί ”.

51 ..μητέρ’ ἀγκάλαις ἐμὴν ἔχουσα”; ταῦτα μέντοι καὶ πολλὰ τούτων ἕτερα τραγικώτερα, τοῖς Ἐμπεδοκλέους ἐοικότα “τεράσμασιν” ὧν καταγελῶσιν, “εἰλίποδ’ ἀκριτόχειρα” καί “βουγενῆ ἀνδρόπρωρα” καὶ τίνα γὰρ οὐκ ὄψιν ἢ φύσιν ἔκφυλον εἰς τὸ αὐτὸ συνενεγκόντες ἐκ τῶν ἐνυπνίων καὶ τῶν παρακοπῶν οὐδὲν εἶναί φασι παρόραμα τούτων οὐδὲ ψεῦδος οὐδ’ ἀσύστατον, ἀλλὰ φαντασίας ἀληθεῖς ἁπάσας καὶ σώματα καὶ μορφὰς ἐκ τοῦ περιέχοντος ἀφικνουμένας. νος μεταβαίνειν [φη] σὶ τὰς ψυχὰς ἐκ σωμά των εἰς σώματα με τὰ τὸ τὰ πρῶτα διαφθα ρῆναι καὶ ἐπ’ ἄπειρον τοῦ το γείνεσθαι, ὥσπερ οὐ κ ἐροῦντος αὐτῷ τινος· Ἐνπεδόκλεις, εἰ μὲν οὖ[ν] δύνανται καθ’ ἑαυ τὰς [α]ἱ ψυχαὶ μένειν μη δέ [ποτ’] ὀφείλεις σύρειν εἰς ζ[ῴ]ου φύσιν καὶ τού του χάριν μεταφέρειν [α]ὐτάς τί σοι δύναται ἡ || μετάβασις; ἐν γὰ[ρ τῷ] μεταξὺ χρόνῳ, δι’ ο[ὗ τὸ] μεταβαίνειν αὐτα[ῖς γεί] νεται ζῴου φύσιν [συν] έχον, τί πάντα γε με[ταβή] σονται; εἰ δὲ μή [πως] ἔχουσι μεῖναι ἄ[νευ] σώματος, τί μά[λιστα] ἑαυτῷ παρέχει[ς πρά] γματα, μ[ᾶ]λλον [δὲ ἐ] κείναις, σύρω[ν αὐτὰς] καὶ μεταβιβάζ[ων εἰς] ἕτερον ἐξ ἑτέρ[ου ζῷ] ον; καὶ ταῦτα πο[ || 1—7 desunt.

52 8]λ 9 deest 10]ρ 11—14 desunt [........]ς τον [....] [.........] υνηι [.... .........] ηοτ[.... ἄ μεινον γ]ὰρ ἁπλῶς ἀ φθάρτους [ἦν] τὰς ψυ χὰς καθ’ ἑαυτὰς ποι εῖν καὶ μὴ εἰς μα κρὸν ἐνβαλεῖν αὐτὰ[ς]

περίπλουν, ἵνα σου τὸ πανέσχατον σεμνό τερον ὑπήρχετο ψεῦς μα. ἤ σοι μέν, Ἐνπε δόκλεις, ἀπιστήσομε[ν] τὰς μεταβάσεις τα[ύ τας ...] [τῆς ἀλλο] τριότητος, οἶξαι τὰ[ς εἰς] τὸ συνελθὸν ἡμῶν [ἀ] παθεῖς εἰσόδους, καὶ τῶν ῥητορικῶν ἀπο κάμψεις λόγων ὅπως ἀκούσῃς τι τῶν ἡμεῖν ἀρεσκόντων.

53 ἔνθεν σε καὶ κατελπίζομεν τὴν ταχίστην τὰς φι λοσοφίας κρούσειν θύ [ρας.]

Eulogikon public reading copy · View original HTML at eulogikon.org